ἱερόν, πλὴν ἔχειν. [Ἐνωρία, ὀλιγωρία· εἴληπται δὲ ἐκ τῶν ἐναντίων. Ἐνωρίαζειν, ἀφροντιστεῖν,
καθ' ἀντίφρασιν, ὥρα γάρ, ἡ φρονὶς. Ἔφα, εἶπεν] Ἐφάλια, παραβαλάττια. Ἐφάμιλλον, ὅμοιον.
τόπον. [Ἐφάπαξ λέγεσθαι] Ἐφαύλιζον, ἐνεύλιζον. Ἐφάψασθαι, ἅρξασθαι, ψηλαφῆσαι. [Ἐφέδρα, ἐπὶ
τῆς δῆσαι λέγεσθαι ἢ λελυμένον ἱμάντα τῆς ὑποδήματος] Ἐφεδρεύει, ἐπικάθηται. Ἐφεδρίαζειν,
παιδιά τις. [Ἐφ' ἑαυτῆς, δι' ἀνάγκης. Ἔφεδρον, δίφρον ἱδρωτοποιόν] Ἔφεδρος, ἀναπλήρωμα ἱππέως
ἢ ἐφεδρεύων. Ἐφύλο, ἐνεπλήσθη. [Ἐφεκτοὶ λόγοι, οἱ ἐγγράφοι λόγοι· οἷον ἐπεχόμενοι
ἢ ὡρισμένοι· μὴ μένοι προσιόντες μηδὲ συλλεγόμενοι] Ἐφεκτοὶ λόγοι, οἱ ἐπὶ τοῦ ἐκτὸς
τῆς κεφαλῆς. Ἐφελκυστής, βοηθός. Ἐφεζεῖσθαι, ἐπικάθηται. Ἐφέζει γαστήρ, ἐφελκύσει. Ἐφέδρια
γράμματα, Ἐπωδάς τινες δυσπαρακολούθητοι, ἃς ἢ Κρόβιον ἐπὶ τῆς τυρᾶς εἰπεῖν· ἢ ἐν
ὀλιγωρίᾳ Μιλησίᾳ καὶ Ἐφεσίᾳ παλαιόντων, ἢ Μιλήσιον μὴ δύνασθαι παλαίειν, διὰ τὸ
ἄλλο τι περὶ ὧν ἀσφαλῶς ἔχειν τὰ Ἐφέσια γράμματα· φανερὸς δὲ τῆς γινομένου,
καὶ λυθέντων ἀνδρῶν θριάκοντα τὸ ἕξῆς τισιν ἢ Ἐφέσιον. [Ἐφέσια, δυσπαρακολούθητα· ὡς
Ἐφεσίων τινων ἐθῶν ἐπαοιδῶν δυσπαρακολουθήτων, ὡς προείρηται· Ἐφέσια γράμματα καὶ
Ἐφέσια Ἀλεξιφάρμακα· ὀνόματα καὶ φωναὶ ἀνεπιτάκτου τινὸς φυσικῆς ἔχεσθαι. Ἔφεσις, ἡ εἰς
ἄλλο δικαστήριον ἐφειμένη δίκη, ὑπὲρ τοῦ κριθῆναι πάλιν· ἐγένετο δ' Ἀθήνησιν ἐπὶ τῶν
ἐν τοῖς δήμοις ἀποψηφισθέντων. Ἐφεῖσθαι καὶ ἀνεῖσθαι ἐξῆν αὐτοῖς εἰς δικαστήριον περὶ τῆς
πολιτείας· καὶ οἱ μὲν ἐάλωσαν, ἐπωλοῦντο ὡς ξένοι· οἱ δὲ μή, ἐπανῆσαν εἰς ἃ, ἐξ ὧν
ἀπεψηφίσθησαν, δήμοι] Ἔφες, ἔσπεμπον. [Ἔφεσις, ὁρμάς. Ἔφεσις, ἐπιθυμία, ὁρμή. Ἔκκλητος
ἔφεσις ἄλλου δικαστηρίου καὶ μεταγωγή. Ἔφεσις, ἡ ἐξ ἑτέρου δικαστηρίου εἰς ἕτερον μεταγωγή·
τὸ δὲ ἀνὸ καὶ ἔκκλητος καλεῖται [καὶ τὸ ἐφεῖναι δὴ ὁ π. ς. ἐξάνδρ] Ἐφίσιοι, ἀνδρο-
χθονες. ὑπνοικοι. Ἐφεσιαδάμενος, ἐνωχητεύς. Ἐφεσπὶς, χλανίς. [Ἐφεσπίδες, ἐπιβολαί] Ἐφέλας, ἐφεῖναι ῥῆμα ἐξ
ὄνους ἄνδρες ὑπνίνους περιόντας ἐδίκαζον. Ἐφέλαι δὲ ἐκλήθησαν, ἡνίκα ὅλοι ἐπὶ ἅπασι δικάζοντο·
Suid. ἢ ὅτι Ἔφεσις παρ' ἀνδρῶν ἐς δύναται εἰς ἄλλο δικαστήριον μεταβῆναι, ἰδίᾳσιν ἔκκλητος. ἢ
Ἔτυμ. Ἐφέλαι, ἄνδρες ὑπὲρ πεντήκοντα γεγονότες, καὶ ἄρισα βεβιωκέναι ὑπόληψιν ἔχοντες·
οἱ καὶ ταῖς φονικαῖς δίκαις ἐκρινον· ἐκαλεῖτο δὲ ἀνῶν τὰ δικαστήρια Ἐφετῶν. Ἐφέται, οἱ
δικάζοντες ταῖς ἐφ' ἅπασι κρίσεις ἐπὶ Παλλαδίῳ καὶ Πρυτανείῳ καὶ ἐπὶ Δελφινίῳ, καὶ ἐν
Φρεαττοῖ, ἐφέται καλοῦνται. Ἐφετικός, ἐπιθυμητικός. [Ἐφετίνδα, παιδιά τις· οἱ δὲ ἄλλως
προδείξαντες τὴν ὁρμὴν ἀφιέναι, ἄλλως ἀφῶσι. Ἐφεψιωμένοι, σκωπτόμενοι καὶ ἐπικωπτόμενοι]
Ἐφηβεία, νεότης. Ἔφηβος, παῖς νέος ἐν ἀνδρὶ τῇ ἀκμῇ· οὗτοι ἐφηβέων. [Ἔφηβον καὶ τὴν
παρθένον οὕτω λέγεσθαι] Ἐφηδοιλο, ἱκέτευσε. Ἐφῆκα, ἔπεμψα. [Ἐφῆκε, ἐπανῆλθε,
πρὸς τὴν ὀξείαν] Ἔφηλος, ἐφηλίδας, ἔχων εἰς τὴν ὄψιν. [Ἔφηλον καλεῖσθαι ὡς ἡμεῖς]
Ἐφήμερος, ἐφήμερός ἐστι δίκη εἰσαγομένη ἀπὸ τῶν ὑποδεξαμένων ἢ ἀρχόμενον
ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας· οἷον φυγάδι ἢ ἀνδροφόνῳ, ἢ οἱ ἀπὸ τῶν
δημοσίων τι καλέσαι δοκῇ ἢ ἧς κρύφα. Ἐφημερία, ἡ ταλαιπωρία. Λέγεται δὲ καὶ ἡ ἧς
ἡμέρας λειτουργία. Ἐφήμερος, παρόδιος. Ἐφῆνεν, ἔδωκεν. Ἐφῆπτο, ἐπικρέμαστο,
ἐπόκειτο. Ἐφηδύνειν, ἐπιχαρεῖν. Ἐφηδή, ἐχάρη. Ἐφθαλέες, ἔφθες καὶ ἔφθεν τὸ
ὀπίσω. [Ἐφθάραλαι φῆμοι Θουκυδίδης καὶ Ἡσίοδος· τάνδρα τὰ τοιαῦτα ἀρχαϊκά.
Ἔφιππος, ἐπιβαλλόμενος.] Ἐφισεῖς, ἐπιπτόντων· ἐπιβαλλόντων. Ἐφιέμενοι, ἐπιθυμοῦντες.
Ἐφιερὸν, Δημοσθένης ἐν τῷ περὶ Θρασυδαίου· ἱερὸν ἐστι ὧν ΙΒ θεῶν ἐν Βοσπόρῳ.
Ἐφίεται, ἐπιθυμεῖ. Ἐφιξῶ, ἀγνίσω. Ἐφίζανεν, ἐπικάθηται. Ἐφίζεται, ἐπικαθέζεται. Ἐφίη
Ἐφίησιν, ἐπιτρέπει. Ἐφικέσθαι, καταλαβέσθαι. Ἐφικνούμενος, καταλαμβανόμενος. Ἐφίκοιτο,
ἐφήψαιτο. Ἐφικτοὶ, δυνατοὶ καταληφθῆναι. Ἐφίστιον, ἀγώνισμα ἐφ' ἵπποις θρε- Λείπει τοῦτο τὸ ἐφίστιον ἐν τοῖς ἀγωνιστικοῖς. Εὔπολις ἀξίν.
σκόντων. [Ἐφιστῶν, ἐπόλις ἄξιν· Ἐφλά, τόλμα· ἐμάλαξεν. Ἐφλεψεν, ἔθλιψεν.] Ἔφο- Εὔπολις ἀξίν. Δ. οἰδν.
δεύεσθαι, καταβοσκοπεύεσθαι. Ἐφόδια, τὰ πρὸς τὴν ὁδὸν ἐπιτήδεια ἀναλώματα. Ἐφηβοί.
Ἔφοδος, ὁρμή. Ἐφόλκια, τὰ ἐκ περιττῆς ἐπιφερόμενα τοῖς ἀποδημοῦσι σκεύη] Ἐφ-
όλκια, καράβια μικρά, παρὰ τὸ ἕλκεσθαι ὑπὸ τῶν κωπηλατῶν ἢ τῶν μεγάλων πλοίων.
καθῆνται δὲ μὴ οἱ τῶν πόλεων τὰ ὦνια ἐπισκοποῦμενοι. [Ἐφολκα λέγονται, ὡς ΧΧ
Θουκυδίδης ἀντὶ τοῦ ἐπαγωγά. Ἐφ' ὁρμῇ, ὁ ἐναντίος τοῖς πολεμίοις ἐφορμήσειν.
Ἐφορία, ἀγορὰ Ἀθήνησιν ἔνθα λεγομένη] Ἐφ' ὁρμῇ, ἐπὶ τῷ ἐφεδρεύειν. Ἔθος Ἀπ- Ἔφορων
Δημοσθένης ἐν φιλιππικοῖς. Ἐφορεία, ἡ ἐπὶ τῶν ὁρῶν γινομένη προαγόρευσις· ὡς ΧΧ ὄρεων
Δημοσθένης ἐν τῷ, καλὰ Ἀριστοκράτους. Ἔφορεία, ἐπισκοπή. Ἔφορος, ὁ πάντων ἐποπτης
καὶ θεωρὸς θεός. Ἐφορεύειν, ἐποπτεύειν. Ἔφοροι, ἐν Λακεδαίμονι ἄρχοντές τινες κληθέντες
ἀπὸ τῆς πάντα ἐφορᾶν. Ἐφ' ὅτῳ, ἐφ' ᾧ τινι [Ἔφρασεν, ἐμήνυσεν] Ἔφυ, ἐγένετο.
Ἔφυγον κακόν, εὖρον ἄμεινον. Νόμοι Ἀθήνησιν ἀμφιθαλῆ τὸν υἱὸν ἐστερημένον ἀκάν-
θαις μετὰ δρυΐνων καρπῶν, λίκνον βαστάζοντα ἄρτων πλέον ἢ δύο λέγειν, αἰνιτ-
μενος τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. [Ἐφ' ὕδωρ, ἐπιμελητὴς κλεψυδρῶν οὐ δίκης]
Ἐφ' ὕδωρ, ἐπὶ ταῖς πρὸς ὕδωρ δίκαις ἐλάγχανεν ὁ ἐπιμελησόμενος ἑκάστ. Ἐφυδρος,
ὕδωρ ἐπάγειν. Ἐφύμνιον, τὸ ἐπὶ τῷ ὑμνῳ ἆσμα. Ἐφυλο, ἐνέφυσαν· φησὶ δὲ τὸ
ἐπεβάλλοντο ὥστε δοκεῖν συμπεφυκέναι. Ἐφυπερθεν, ὑπεράνω. Ἔφυρον, ἔβρεχον.
ἢ ἔπλυνον. Ἐφωδεῶσαν, ἐπέβρεχον. [Ἔχέγγυον, πιστόν· καὶ Ἄνεγγυον, ἄπιστον] Ἔχ-
έγγυος, ὁ ἀσφαλὴς ἐγγυητής· ὁ διὰ πίστεως ἄξιος. Ἔχε δή, ἀντὶ τοῦ ἄρε δή· ἢ ὅρα
δή· πρόσεχε· ἢ ἴσθι τοῦτο. Ἔχεσαν, ἔχωσαν. Ἔχει αὐτὸν ὁ τῆς θανάτου ζόφος χαλινώσας,
ἀντὶ τοῦ ἐσχηκεν. Ἐχεμυθία, σιωπή· μυστήρια. Ἐχεμυθεῖ, ἔχει ἐν ἑαυτῷ τὸν λόγον.
Ἐχέμυθος, μυστήριον κρυπτὸν ἢ φρόνιμος. Ἐχέλη, τὸ δρόσος τὸ κρᾶγμα [Ἐχελιδόνη, ἡ ἀφ' ὑπερ. τόπος.
ὁ τόπος ἔχων ἱππόδρομον ἀπὸ Ἐχέλας ὀνομασθείς. Ἐχθεσινόν, τὸ ἐχθὲς ἐγένετο] Ἔχθημα, μίσημα. ΗΗ
[Ἐχθιζόμενα, κακυνόμενα· ἐχθραινόμενα, ἢ ἐχθρὰ παρασκευαζόμενα] Ἐχίδνων, δούλιος. Ἐχιρωθη- ἐχειρώθησαν ἀπὸ
σάν, ἀνδρῶν ἐστερήθησαν. Ἐχήρωσαν..... Ἐχθραίνει, μισεῖ. Ἔχθιστοι, ἐχθρολίτιος. Ἐχθοδοπόν, προηγουμένων Vind. V. ἢ ὡς Vatic.
ῥόν. ἐχθροποιόν. Ἐχθόμενος, ἐχθρός. ἢ μισούμενος. Ἔχθος, μῖσος. Ἔχῖνος, ἄγγος ἢ τις ὁ τὰ γραμ-
ματεῖα τὰ πρὸς ταῖς δίκαις ἐπίθεντο. Μνημονεύει δὲ Δημοσθένης τὸ ἄγγος τοῦτο. Ἀλλὰ καὶ Ἀριστοφάνης

http://digital.slub-dresden.de/ppn346246385/12